# ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ
# ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ.

## ΜΕΡΟΣ Β΄.

### Προδιοίκησις.

Τὸ περὶ ψυχῆς, ϗ ἀγγέλων, ϗ Θεοῦ τοῦ ὑπερτάτου πραγματευόμενον τῆς Μεταφυσικῆς, ἐν γένει τῷ τῆς Πνευματολογίας περισημαίνειν φιλοῦσιν ὀνόματι. Πνεύματα γὰρ τὰ τοιαῦτα, οὐχ ὅπως παρὰ τὸ ἀσώματα εἶναι ϗ ὕλης κρείττονα, ἀλλὰ ϗ διὰ περιουσίαν δυνάμεως. Εἴ τι γὰρ δραστήριον τὴν φύσιν, Ῥουάχ μὲν Ἑβραίων παισὶ, Πνεῦμα δ' Ἑλλήνων ὠνόμασται. Ἐξ οὗ ϗ τοῖς εὐκινήτοις ϗ λεπτοτάτοις τῶν σωμάτων προσήφθη ἡ ἐπωνυμία παρά τε τοῖς Φυσικοῖς, καὶ τοῖς περὶ τὴν Χημίαν τριβομένοις. Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς ψυχῆς τῆς θεωρίας, μὴ τὴν τοῦ ἀναπνέειν δύναμιν, ὥς τινες, ψυχὴν εἶναι ὑποτιθέμενοι, ἀλλ' οὐσίαν τινὰ πολλῶν ϗ καλῶν εὐμοιροῦσαν δυνάμεων ϗ τελειοτήτων μετὰ Ἀριστοτέλους, καὶ τῶν ἄλλων Μεταφυσικῶν, ὡς ὁ ἐφεξῆς ἐξηγήσεται λόγος, οὗ πρὶν ἢ βαθύτερον ἅψασθαι, προθετέον δὴ τοὺς ὁρισμοὺς, τοὺς τὴν θεωρίαν ἡμῖν προοδοποιήσοντας.

### Ὁρισμὸς Α΄.

„Ψυχὴν ἀποκαλῶ οὐσίαν διανοητικὴν, ἤτοι ἀρχήν τινα τῶν διανοήσεων „ἐνεργητικὴν ϗ δραστήριον.

### Σχόλιον.

Οὐ γὰρ δύναμίν τινα ψιλὴν ταύτην βούλομαι εἶναι, ἀλλ' οὐσίαν. Εἰ γὰρ νοοῦμεν, ϗ βουλόμεθα, ϗ αἱρούμεθα, ἔσται δήπου τῶν τοιούτων ἐνεργημάτων ἐν ἡμῖν ἡ δύναμις, καὶ τῆς δυνάμεως ταύτης τὸ ὑποκείμενον, ἤτοι ἡ οὐσία (Πρ. ΞΕ΄. Μέρ. Α΄.). Καὶ τοῦτο μόνον εἰκότως ἂν ζητοῖτο, τίς ποτε τῆς τοιαύτης οὐσίας ἡ φύσις, περὶ οὗ ἐφεξῆς. Τὴν μὲν οὖν ψυχὴν ϗ νοῦν αὖτις προσειπὼν



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

οὐχ ἀμάρτοι, γενικώτερον τοῦ ὀνόματος ἐκληφθέντος, καὶ μὴ μόνον ἀντὶ τῆς ἀντιληπτικῆς τοῦ ἀληθοῦς δυνάμεως. Ὁ δὲ Καρτέσιος, καὶ ὁ Ῥήγιος, καὶ ἄλλοι, νοῦν μὲν καθ᾽ αὐτὴν τὴν οὐσίαν θεωρουμένην, ψυχὴν δὲ ᾗ τὸ σῶμα εἰδοποιοῦσαν ἐκάλεσαν. Τινὲς δὲ ἔν τε ἀρχαίοις οὐχ ἧττον ἢ νεωτέροις τῆς οὐσίας τοῦ νοῦ τὴν ζωογόνον ταύτην πράγματι διέκριναν δύναμιν τῆς ψυχῆς. Οὐ γὰρ μικρὸν δηλονότι ἐν φιλοσοφίᾳ τὸ ζήτημα, πότερον ἡ τοῦ σώματος ζωὴ ἀπὸ τῆς τοῦ νοῦ οὐσίας ἠρτημένη ἐστὶν, ἢ γοῦν ἄλλοθεν; Καὶ γὰρ Γασσένδος, καὶ Κυδβόρτιος, καὶ ἄλλοι, ἀπὸ μέσης τινὸς οὐσίας φασίν. Οἱ δὲ περὶ Καρτέσιον ἀπὸ τῶν ζωτικῶν πνευμάτων. Λεϊβνίτιος δὲ καὶ Οὐόλφιος ἀπὸ τῆς ἐνούσης τῷ σώματι δυνάμεως. Οἱ δὲ ἀρχαῖοι ἀπὸ τοῦ αἰσθητικοῦ τῆς ψυχῆς, τοῦ δι᾽ ὅλου διακεχυμένου τοῦ σώματος. Πάντως αἱ δυνάμεις τε καὶ ἐνέργειαι, αἷς ἡ τοῦ σώματος ζωὴ συνέχεται, τῷ νεύματι τ[οῦ] ἐν ἡμῖν νοῦ ἥκιστα πειθαρχεῖν δοκοῦσιν, οἷον ἡ καρδίας, καὶ πνευμόνων, καὶ ἀρτηριῶν κίνησις, ἥτε ζωτικὴ θερμότης, καὶ αἱ παραπλήσιαι. Ἀλλὰ καὶ αἰσθήσεις ἡγεῖσθαί πως τῶν ἐπιβολῶν τοῦ νοῦ, καὶ τῶν βουλήσεων ἐοίκασιν, ὡς ἀπ᾽ ἐκείνων μᾶλλον τὴν ἀρχὴν ἔχειν τὴν νόησιν. Ἐκ τούτων οὖν ἀνδρὶ φιλοσόφῳ γένοιτ᾽ ἂν εἰκότως οὐ φαύλη ὑπόνοια, ἐνεῖναι τινὰ τῷ ἀνθρώπῳ μέσην οὐσίαν ζωτικὴν, ἤτοι οὐσίαν τινὰ εὐρουστάτην, ἥτις εἴη τῷ νῷ δίκην ὀχήματος, ᾗ φησιν Αὐγουστῖνος, τοῦ μὲν ὅλου σώματος διήκουσα, τοῖς δὲ μηχανικοῖς τούτου θεσμοῖς τε καὶ νόμοις ὑποκειμένη.

## Ὁρισμὸς Β΄.

„Διάνοιά ἐστιν ἡ τῆς ψυχῆς δύναμις, ᾗ νοεῖ, καὶ κρίνει, καὶ συλλογί-
„ζεται, κτλ. Εἴωθε δὲ καλεῖσθαι καὶ λόγος.

## Σχόλιον.

Ὅτι πᾶσα ἐνέργεια δυνάμεώς ἐστιν, ἡ δὲ δύναμις ἐρείδεται τῇ οὐσίᾳ, δύναμιν εἰκότως ψυχῆς τὴν διάνοιαν προσειπεῖν ἔδοξεν. Εἰ γὰρ ἐν τοῖς πάλαι καὶ νῦν παθαίνεσθαι τὴν διάνοιαν εἰσὶν οἱ δοξάσαντες, ἀλλ᾽ ἡμῖν ἡ δόξα οὐκ ἐγκρίνεται. Τὸ γὰρ ἐπιβάλλειν ταῖς ἰδέαις, καὶ ἀναστρέφειν αὐτὰς ἐκ μέρους παντὸς νοηθησομένας, καὶ παρατιθέναι ἀλλήλαις, καὶ συνορᾶν τί τὸ ἡγούμενον, καὶ τί τὸ ἑπόμενον, καὶ ἀναμιμνήσκεσθαι, καὶ τεκμηριοῦν, εἴπερ αὗται διανοίας ἐνέργειαι, τί μὴ δύναμιν ἐνεργητικὴν εἶναι τὴν διάνοιαν φήσομεν; Ἀλλ᾽ ἐπιδέχεται μὲν ἡ διάνοια τὰς ἰδέας, φασὶν, οὐ παράγει δέ. Ἔστω. Ἀλλ᾽ οὕτως αἱ μὲν ἰδέαι οὐδαμῶς· ἃς δὲ περὶ τὰς ἰδέας ταύτας ἡ διάνοια ἐπενεργεῖ, αὐτῆς ἔσονται

δηλονότι ἐκεῖναι ἐνέργειαι. Ἀντιφάσκει γὰρ ἐνεῖναι μὲν λέγειν ἐν ἀνθρώπῳ νῦν, μηδαμῶς δὲ τῦτον ἐνεργεῖν.

Καλεῖται δὲ λόγος, καθ᾽ ὃν ἢ τὰ ἢ χρὴ νούμενα κατὰ τὸν ὀρθὸν λόγον νοεῖσθαι λέγεται. Δυσὶ δὲ μάλιστα τύτοις συνίσαται ὁ ὀρθὸς λόγος, ταῖς νοηταῖς ἰδέαις ἀμέλει ἐπερειδόμενος, ταῖς τῶν ὄντων φύσεσι συμφωνέσαις, καὶ τῇ ὀρθῇ καὶ ἀναγκαίως ἐχέσῃ ἐπιφορᾷ τε καὶ συνεπείᾳ, ἣν συλλογισμὸν ὀνομάζομεν. Καὶ αὕτη μὲν ἡ τῦ συλλογίζεσθαι δύναμις ἀνθρώποις ἅπασι πρόσεστι, καίτοι μὴ ἐπίσης τελεία, τῶν δὲ νοητῶν ἰδεῶν, πάνυ μὲν ὀλίγαι κοινῇ τοῖς πᾶσι διαφέρεσαι, αἱ πλείες δὲ κατὰ ἔθνη καὶ χρόνες, καὶ παρὰ τὴν τῶν εἰδήσεων περιεσίαν, ἢ ἔνδειαν, ἄλλοις μὲν ἄλλαι προσῦσαι. Ἐξ ὧ ἄντις εἰκάσειε καὶ τίς ὁ τῦ ἀνθρωπείυ γένυς καθόλυ ὀρθῶς ἔχων λόγος, καὶ τίς παρὰ τῦτον ὁ ἰδιάζων.

## Ὁρισμὸς Γ'.

„Ἐπιβολὴ καὶ ἀντίληψις τοῖς φιλοσοφῦσιν ἀκέει ἡ μιᾶς τινος ἰδέας νοε„ρὰ θεωρία ἄνευ παραθέσεως πρὸς ἑτέραν.

## Ὁρισμὸς Δ'.

„Κρίσις δὲ πλειόνων ἰδεῶν ἀντίληψις, καὶ τῆς ἐν αὐταῖς σχέσεως ἀκραι„φνής, καὶ σαφὴς διανόησις.

## Ὁρισμὸς Ε'.

„Συλλογισμὸς δὲ πλειόνων κρίσεων παράθεσις, πρὸς ἐναργῆ διανόησιν „τῦ ἁπλῆ ἐπιβολῆ μηδαμῶς ἐπινοεμένυ.

## Σχόλιον.

Σημειωτέον μὴ πᾶσαν ἐπιβολὴν τῆς μεταξὺ δυοῖν, ἢ πλειόνων ἰδεῶν σχέσεως, Κρίσιν ὀρθῶς λέγεσθαι, ὅτι μὴ μόνην τὴν ἐναργῆ καὶ σαφῆ· τὴν δὲ ἀσαφῆ, ὑπόληψιν, ἢ γῦν ἀπορίαν· τὴν δὲ τῶν ἄκρων ἀντίληψιν, ἀγνοεμένης μὲν τῆς τύτων μάχης, ἢ οἰκειότητος, ὑπὸ δέ τινος τῦ μαρτυρῦντος κρατυνομένης, πίστιν. Οἷον ἐναργῶς ἐπιβάλλω A=B, ἢ A<B, ἢ κρίσει, ἢ συλλογισμῷ χρώμενος. Εἰ δὲ μὴ ἐναργῶς, ἀμυδρῦ τινος μόνου φωτὸς ἐπαυγάζοντος, ὑπολαμβάνω· μηδενὸς δὲ πάντη, ἢ ἑκατέρωθεν ἴσυ, ἀμφίδοξος εἰμὶ ἀπορῶν. Τελευταῖον δὲ πιστεύω τῇ ἑτέρυ μαρτυρίᾳ πειθόμενος.

## Ὁρισμὸς ς'.

„Ἰδέα ἐστὶν εἶδος νοητὸν τῦ ὑφεστῶτος, ἢ δυνατῦ.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Τῶν ἰδεῶν τὰς μὲν καθαρῶς νοητὰς οἱ φιλοσοφοῦντες ἐδίδαξαν εἶναι, τὰς δὲ φανταστικὰς καὶ ἐνύλους· κἀκείνας μὲν οἱασοῦν σωματικῆς συγκρίσεως ἀπηλλαγμένας ὑπέθεντο, τὰς δὲ προσβολὰς τυγχάνειν ἐμποιουμένας τῷ ἐγκεφάλῳ, εἴτε ὑπὸ τῶν ἐκτὸς αἰσθήσεων, αἷς ἐπαράσσει τὰ αἰσθητὰ, εἴτε καὶ ἐνεργείᾳ ἐνδοτέρᾳ αὐτοῦ τοῦ νοῦ, ὑφ' ἧς ἡ τοῦ ἐγκεφάλου διατίθεται φύσις. Ἔστιν ἀλλ' οὖν ἐν τούτοις ἀπορία οὐ μικρά. Εἰ γὰρ εἶδος ἡ ἰδέα, ἔχει ἄρα τὸ παριστάνειν τὸ νοητὸν, καὶ πρὸς τὸν νοῦν ἀναχθήσεται τὸν νοοῦντα. Ἀλλ' ἔστι δήπουθεν ὁ νοῦς σωματικὸς, ἢ γοῦν ἀσώματος. Εἰ μὲν οὖν τοῦτο, οὐκ ἂν ἐπιδράξαιτο, εἰμὴ τῶν καθαρῶς νοητῶν ἰδεῶν· τῶν δὲ ἐν τῷ ἐγκεφάλῳ εἰκονιζομένων, ἐπεὶ μηδὲ ἀμέσως καὶ καθ' ἑαυτὰς τῷ νῷ παραστῆναι πεφύκασιν, οὐδαμῶς. Εἰ δ' ἐκεῖνο, οὐκ ἐπιβαλεῖ τοῖς καθαρῶς νοητοῖς καὶ ἀΰλοις. Ἀλλὰ γὰρ εἰμὴ δι' ἰδέας εἰκονιζούσης τὸ νοητὸν, ὅπως ἂν τοῦτο τελοῖτο, τὸν νοῦν περὶ τὰ νοητὰ ἐνεργεῖν νοῆσαι οὐκ ἔχομεν. Οὐ γὰρ ἡ τῶν ὄντων νοερὰ ἐπιβολὴ ἐκτὸς ἡμῶν τελεῖται, ἀλλ' ἐν ἡμῖν. Δέον δὲ τὸν νοῦν νοερῶς συνάπτεσθαι τῷ νοητῷ, εἰμὴ ἑαυτοῦ ἐξίστασθαι, καὶ τοῖς ἐκτὸς αὐτοῦ συζεύγνυσθαι εἰπεῖν ἑλοίμεθα τὸ καταγέλαστον, πᾶσα ἀνάγκη ἰδέας τινὰς, ἤτοι νοητὰς τινὰς εἰκόνας καὶ εἴδη θέσθαι. Συνάπτεσθαι τοῖς ἐκτὸς διὰ τοῦ ἐνεργητικοῦ νοῦ, τοῦ δι' ὅλης τῆς κτιστῆς φύσεως διακεχυμένου, τὸν ἐν ἡμῖν νοῦν οἱ Ἄραβες ἔφασαν. Οἱ δὲ Πυθαγόρειοι, καὶ οἱ ἀμφὶ τὸν Σπινόζαν, μοῖραν τινὰ τῆς διὰ πάντων διϊούσης Θεοῦ φύσεως εἶναι ὑπέθεντο. Ἐπεὶ δὲ ταῦτα δυσσεβῆ οὐχ ἧττον, ἢ ἄλογα, ἐμμένειν ἡγούμεθα τῷ ἀποδοθέντι ὁρισμῷ, καὶ τὰς ἰδέας ἀποδέχεσθαι, οἱονεί τινὰς τῶν νοητῶν ἐμφάσεις καὶ ἀπεικάσματα.

## Ὁρισμὸς Ζ'.

„Μνήμην καλοῦμεν τὴν δύναμιν τοῦ νοεῖν τὰ ἄλλοτε ἡμῖν νοηθέντα, σὺν „ἐνδοτάτῃ συνειδήσει καὶ προσοχῇ τοῦ ταῦτα καὶ ἄλλοτε ἡμῖν νενοῆσθαι. Εἰμὴ „γὰρ, οὐδ' ἀνάμνησις ἔσται τὸ τελούμενον.

## Ὁρισμὸς Η'.

„Ἀνάμνησις δὲ ἡ ἐνέργεια ἐστὶ τῆς μνήμης· διαφέρει δὲ ἐκείνης ὡς ἐνέργεια „ἕξεως.

## Σχόλιον.

Χαλεπὸν δὲ εἴπερ ἄλλο τι τοῖς φιλοσοφοῦσι τὸ ἀναπτύξαι ἐφ' ἑκάστης

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναμνήσεως, ὅπως ποτὲ τῆς πάλαι γενομένης τοῦ νοητοῦ ἀντιλήψεως ἐνδοτάτῃ συνειδήσει συνεπαισθόμεθα. Ἢν γὰρ ἐκ τῶν ἐγκεκολαμμένων τῷ ἐγκεφάλῳ ἰχνῶν, ἢ γοῦν τύπων τινῶν ὁποιωνοῦν εἴποις, τῶν μετὰ τὰς αἰσθήσεις καὶ ἀντιλήψεις ἐνυπολειπομένων, ἀπορίαις συσχεθήσῃ ἀφύκτοις. Κἂν γὰρ δῶμεν, ὅτι τὰ ἐγκολαπτόμενα ταῦτα ἴχνη ἀναφύειν πεφύκασι τὴν ἀντίληψιν, ἀλλὰ πῶς ἔπειτα ἀνεγεροῦσι τὴν ἀνάμνησιν; Εἰ δὲ καὶ τοῦτο, πῶς συνάμα τῇ ἀναμνήσει παρίσταται ἡ φθάσασα προτελεσθῆναι νόησις; Ἐρεῖς, ὡς ἐπιγιγνώσκει ἄρα ὁ νοῦς, μὴ πρόσφατα εἶναι τὰ ἴχνη ἐκεῖνα, ἀλλ' ἀρχαῖα δηλονότι, οἷς καὶ αὖθις ἐπέβαλε. Τίσι δή ποτε σημείοις; ἢ τοῖς ἴχνεσιν; Ἀλλ' οὐδὲν ἐρεῖς ἐναργὲς καὶ δῆλον. Οὐ γὰρ οὐδὲ ὅ,τί ποτε ἐστὶ τὰ ἴχνη ταῦτα συνορᾷν ἔχω· πότερον γὰρ ἐνεργὰ καὶ κινούμενα, ἢ ἀδρανῆ καὶ ἀκίνητα; Εἰσὶν οἱ τὴν παροπηδοῦσαν τῇ ἀναμνήσει τῆς προτέρας ἀντιλήψεως αἴσθησιν, οἷα δὴ καὶ τὴν ἄλγους, ἢ χαρᾶς, πρὸς Θεὸν ἀμέσως ἀνατιθέασι. Δεῖγμα τοῦτο σαφὲς χρήματος δυσαναπτύκτου. Ἀλλὰ περὶ μνήμης ἐν οἰκείῳ τόπῳ πλατύτερον.

## Ὁρισμὸς Θ'.

„Δύναμιν αἰσθητικὴν καλοῦμεν, ᾗ περ ἀντιλαμβάνεσθαι πεφύκαμεν τῶν „ἐν τοῖς αἰσθητηρίοις ὀργάνοις, εἴτε ὑπὸ τῶν ἐκτὸς ἀντικειμένων, εἴτουν καὶ „ὑπὸ αἰτίων, τῶν ἐν τῷ ἡμετέρῳ σώματι ἐνεγειρομένων κινήσεων.

## Σχόλιον.

Διακριτέον ἐπὶ τῶν αἰσθημάτων δύο ταῦτα, τήν τε ἀντίληψιν καὶ τὴν αἴσθησιν τῆς ἡδονῆς, ἢ τοῦ ἄλγους. Οἱ μὲν οὖν τοῦ νοῦ τὸ εἶναι πᾶν ἐν τῇ διανοήσει θέμενοι, τὴν τοιαύτην τῆς ἡδονῆς ἢ τοῦ ἄλγους αἴσθησιν, τὴν παροπηδοῦσαν ἑκάστῳ αἰσθήματι, ἕνα δή τινα τῶν τοῦ διανοεῖν τρόπων εἶναι διδάσκουσιν. Ἀλλ' εἰμὴ ἀπατᾷν αἱροῦνται προδήλως φιλοψευδοῦντες, μακρῷ φύσεως ἑτεροίας εἶναι, ἤ περ ἡ διανόησις, ὁμολογήσουσιν. Ἐὰν οὖν μὴ λέγωσιν οἱ φιλόσοφοι οὗτοι ταραχὴν εἶναι τοῦτο τινὰ, τῇ μέσως πως ἐχούσῃ ψυχῇ ἐπισυμβαίνουσαν, ἴσωσαν, ὡς διοριζόμενοι τὴν ψυχὴν ἄμοιρον εἶναι ὅλως ἐκτάσεως, οὐδὲν ἔχουσι λειπόμενον αὐτοῖς, ὅπερ ἂν φαῖεν, εἰμὴ εἶναι τὴν τελουμένην αἴσθησιν, οὐκ οἶδ' ὅτι. Ἀλλὰ περὶ τούτου κατωτέρω ἀκριβέστερον.

## Ὁρισμὸς Ι'.

„Δύναμις φανταστικὴ, ἤτοι φαντασία καλεῖται, ᾗ τὰς τῶν ἀπόντων σω„ματικὰς ἰδέας ἡμῖν αὐτοῖς παριστῶμεν, παντοίως συζευγνῦντες, αὔξοντες, μει„οῦντες, καὶ ᾗ τινι καὶ τὰ ἀσώματα αὐτὰ διὰ σωματικῶν εἰκόνων ἐξεικονίζομεν.

## Σχόλιον.

Ἔστι δὲ ὁ ὁρισμὸς οὗτος πραγματιώδης, ἐξ ὧν σφίσιν ἑαυτοῖς ἐνδοτάτω σύνισμεν. Τὰ τοίνυν αἰσθήματα ἴχνη τινὰ, ὁποῖα ἂν ταῦτα ᾖ, ἡμῶν τῷ ἐγκεφάλῳ ἐγκαταλείπει, δι' ὧν πεφύκαμεν ἀντιλήψεις ἔχειν φωτὸς, χρωμάτων, σχημάτων, ἀποστημάτων, ἤχων, ὀσμῶν, καὶ τῶν παραπλησίων τὰς αὐτὰς, καί τοι ἀπόντων ἐκείνων, ὧν ἄλλοτε παρόντων προεπειλήμμεθα. Αἱ γοῦν ἀντιλήψεις αὗται ἰνδάλματα ἀκούει καὶ φαντάσματα. Διαφέρει δὲ φαντάσματος αἴσθημα, ὅτι τὸ μὲν φύσει χρονιώτερόν τε καὶ ζωηρότερον, ἐκεῖνο δὲ ἧττον. Ἐκ τούτου δὲ καὶ τὰ διαφέροντα χρονιότητι καὶ ζωηρότητι φαντάσματα ἀντὶ αἰσθημάτων τὰ πολλὰ ἡγούμεθα. Τῇ αὐτῇ δ' ὁ νοῦς δυνάμει, ᾗπερ ἑαυτῷ παρίστησι τὰ παρελθόντα αἰσθήματα, καὶ τὰ μηδέποτε αἰσθήσεσι προσβαλόντα δύναται ἀναπλάττειν. Δύναται δὲ καὶ τὰ φαντάσματα ταῦτα συναγελάζειν, αὔξειν, μειοῦν, καὶ κοινὰς ὄντων μορφὰς ἑαυτῷ παριστάνειν, ὃ τοῖς ποιηταῖς σύνηθες· δύναται δὲ καὶ τὰ ἀσώματα σωματικοῖς ἰνδάλμασι διαγράφειν, ὃ γραφέων παῖδες φιλοῦσι.

## Ὁρισμὸς ΙΑ΄.

„Ὑφίσταται ἡ ζωὴ ἐν διηνεκεῖ τινι ἐνεργείᾳ, τῇ ἐξ ἀρχῆς δραστηρίου, ἐνδιαθέτου τῷ ζωὴν ἔχοντι ἐκπηγαζούσῃ, καὶ μετά τινος αἰσθήσεως ἑαυτῆς συναπτομένῃ.

## Σχόλιον.

Τεθείη δ' ἂν πλείονα γένη ζωῆς, κατὰ μοίρας διακρινόμενα. Καὶ γὰρ καὶ φυτὰ, καὶ κτήνη, καὶ ἀνθρώπους, καὶ δαίμονας, καὶ Θεὸν αὐτὸν ζῆν λέγομεν. Τὰ μὲν φυτὰ, πλαστικῆς τινος δυνάμεως (ὁποία ποτ' ἂν ᾖ) δι' αὐτῶν διϊούσης. Τὰ δὲ κτήνη, καὶ τῆς πλαστικῆς ταύτης δυνάμεως εὐμοιροῦντα, καὶ αἰσθήσεων ἐπ' αὐτῇ, καὶ ἑκουσίων κινήσεων. Τὸν ἄνθρωπον δὲ, καὶ λόγῳ τῶν κτηνῶν διαφέροντα. Μακρῷ δὲ διαφέρουσα ἡ τῶν δαιμόνων ζωή· οὗτοι γὰρ σῶμα οὐδὲ πάνυ λεπτὸν φοροῦσιν. Ἐξοχωτάτη δὲ ἁπασῶν ἡ τοῦ ὑψίστου Θεοῦ ζωή· μᾶλλον δὲ αὐτὸς ἡ ζωή. Κοινὸν δὲ ἐν παντὶ ζωῆς εἴδει γνώρισμα, τὸ μὴ εἶναι ἄνευ ἐνεργείας ἐνδοτάτης, καὶ διηνεκοῦς· ταύτῃ γὰρ παυσαμένῃ συνεκλείπει τὸ ζῆν. Ὡς εἴπερ τινῶν ζῆν λεγομένων ἡ ἀδιάλειπτος αὕτη ἐνέργεια ἐν ἀδήλῳ, οἷον σπερμάτων καὶ ᾠῶν, ἀλλ' ὑποτίθεται δή που, ὡς οὖσα, καί τοι λανθάνουσα ἐν αὐτοῖς τοῖς τῇ ζωτικῇ ταύτῃ ἐνεργείᾳ ζωπυρουμένοις.

ΙΩΑΝΝΙΝΑ 2006

## Ὁρισμὸς ΙΒ'.

„Ὄρεξις ἐστὶ ψυχῆς ῥοπὴ ἐπὶ τὸ προαντιληφθὲν ἀγαθόν, καὶ ὥς που „ὀρθῶς ὁ Χρύσιππος (1) λόγος ἐπιτάσσων τὴν ἐνέργειαν. Ἀποτρο„πιασμὸς δέ, ψυχῆς ἀποχὴ τὸ πρὶν ἀντιληφθὲν φευγούσης κακόν.

## Σχόλιον.

Κτηνώδης δέ ἐστιν ἡ δύναμις, ᾗπερ ὀρεγόμεθα τινός, ἢ ἀπέχομεν. Παντὸς γὰρ λόγου καὶ βουλῆς ἡγεῖται, οὐμὴν ἀλλ' οὐχὶ καὶ οἱασοῦν ἐνθυμήσεως· ὥσπερ γὰρ τοῦ ἀγνοουμένου ἔρως οὐδείς, οὕτως οὐδ' ἀποστροφή τις ἂν εἴη. Διεῖλον δὲ οἱ πάλαι τὴν ὄρεξιν, καὶ τὴν μὲν λογικὴν προσεῖπον, τὴν δὲ ἐπιθυμητικήν, τὴν σαρκικὴν παρὰ τοῖς Χριστιανοῖς λεγομένην, καὶ τὴν μὲν ἐπὶ τῆς ψυχῆς ἐτάξαντο τὸ ἀνώτερον, τουτέστι τὸ διανοητικόν, τὴν δὲ ἐπὶ τὸ κατώτερον καὶ αἰσθητικόν. Κἀντεῦθεν καὶ τὴν μάχην ἔδοξαν ἀναπτύσσειν, τὴν τούτων μεταξὺ ἐνεγειρομένην, ἣν καὶ ὁ ἀπόστολος (2) ἐν ἐκείνοις διαγράφει. „Βλέπω „ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου.... „οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω." Πρὸς ὃ φέρει καὶ τὸ Πλατωνικὸν ἐκεῖνο, τὸν ἵππον πρὸς τὸν ἀναβάτην ἀπομάχεσθαι. Ἀλλὰ πῶς ἄν τις μέρη τῇ ψυχῇ ἐνεπινοήσειεν ὅλως τὸ μὲν ἀνώτερον, τὸ δὲ κατώτερον ἁπλουστάτῃ καὶ αὔλῳ οὔσῃ; Ἐμοὶ γοῦν δοκεῖ, ὡς ὀρθῶς ἂν οὕτω τὸ πρᾶγμα ὑποτεθείη. Ἑκάστῃ νοῦ ἀντιλήψει κίνησίς τις ἐν ὅλῃ τῇ ψυχῇ, ᾗ τὸ ζῆν συνέχεται, διεγείρεται. Αἱ δὲ κινήσεις κατὰ λόγον εἰσὶ τῆς ἐπιτάσεως τῶν καλῶν, ἢ κακῶν, ὧν ἀντιλαμβάνεται. Ἐπεὶ δὲ αἱ ἀντιλήψεις (ὧν ἕνεκα ἐν ἄλλοις εἰρήσεται) οὐκ ἐπίσης εἰσὶν ἐπιτεταμέναι, ἄνισος ἔσται καὶ ὁ τῆς ψυχῆς κραδαινομένης ἐν αὐταῖς σάλος. Ἀλλὰ γὰρ καὶ κατὰ λόγον τοῦδε τοῦ σάλου ἀνίσως ἡμῖν ἐνεγείρεται τὰ πολλὰ ἡδονῆς αἴσθησις, ἢ ἄλγους. Τῇ δὲ εὐτονωτέρᾳ αἰσθήσει ἀεὶ πεφύκαμεν διορίζεσθαι, καὶ δῆθεν κατὰ λόγον τῆς ἐπιτάσεως τοῦ καλοῦ, ἢ κακοῦ, ὧν νοερῶς ἐπειλήμμεθα, τουτέστι κατὰ λόγον τῶν συγκινήσεων, αἷς παθαινόμεθα, καὶ ἑπομένως τῶν ἀντιλήψεων. Οἷον προκείσθω κατὰ τὸ αὐτὸ ἀγαθὰ δύο τὸ μὲν Α, τὸ δὲ Β· τὸ μὲν Α ψυχῆς ἀγαθόν, τὸ δὲ Β τοῦ σώματος· καὶ νοείσθω τὸ μὲν Β ἐπιτάσει $=6$, τὸ δὲ Α $=4$. Καὶ κλινοῦμεν ἄρα πρὸς μὲν τὸ Α ῥοπῇ $=4$, πρὸς δὲ τὸ Β $=6$. Τοῦτο παι-

(1) Παρὰ Πλουτ. ἐν τῷ περὶ τῶν Στωϊκ. ἐναντιω.

(2) Πρὸς Ῥωμ. Ζ. ΚΓ'.

τως ἐστὶ τὸ βλέπειν μὲν τὸ ἀγαθὸν, πρὸς δὲ τὸ πονηρὸν ῥέπειν, καὶ πειθαρχεῖν τῷ νόμῳ τῷ ἐν τοῖς μέλεσιν, ὃς τῷ νόμῳ τοῦ νοὸς ἐστὶν ἀντιστρατευόμενος.

## Ὁρισμὸς ΙΓ'.

,,Ἐλευθερία ἐστὶν ἡ τοῦ νοῦ δύναμις, ᾗ πεφύκαμεν αἱρεῖσθαι τι, ἢ ἀποτρέ-
,,πεσθαι, ὡς ἂν ἡμῖν δόξῃ τῷ λόγῳ τοῦ καλοῦ, ἢ κακοῦ ἑπομένοις. Καὶ ἐλεύ-
,,θερον ἄρα καλοῦμεν τὸν κατὰ τὸν ἐν αὐτῷ λόγον τοῦ ἀγαθοῦ, ἢ κακοῦ ἐνερ-
,,γοῦντα· ἐλεύθερον δὲ οὐδαμῶς, ἐν ᾧ τοῦ ἐνεργεῖν αἴτιον ταραχὴ, ἢ πάθη-
,,μα ψυχῆς ἐστὶν ἄλογος, ἢ γοῦν λόγος μὴ ἴδιος, ὃν καὶ ἡδονῆς ἄνευ, οἷα δὴ
,,ἄκοντα, ἐνεργεῖν οἴδαμεν.

## Σχόλιον.

Ἐπιγνοίη δ' ἄν τις φανώτερον τὴν ἐν ἀνθρώπῳ ἐλευθερίαν, διακρίνας ἐν αὐτῷ δύο δὴ ταῦτα, τὴν ἐνεργητικὴν ἀμέλει τοι δύναμιν, ἧς εὐμοιρεῖ, καὶ τὰ πρὸς τοῦτο μᾶλλον ἢ τοῦτο κινοῦντα ταύτην καὶ διορίζοντα. Κινητικὰ δὲ δύο ἂν γένοιτο, λόγος καὶ πάθος. Ἐὰν οὖν ἡ ἐνεργητικὴ δύναμις ὑπὸ πάθους διορίζοιτο, εἴτε παρὰ τῶν ἐκτὸς ἐνεργούντων, εἴτουν καὶ ὑπὸ τοῦ ἰδίου σώματος, ἀναγκαία ἔσται ἡ ἐνέργεια· εἰδ' οὖν ὑπὸ τοῦ λόγου, ἐλευθέρα. Καὶ εἰς τοῦτο ἄρα τὸ περὶ τῆς ἐν ἀνθρώπῳ ἐλευθερίας ζήτημα τείνει: πότερον ἀεὶ βίᾳ τῶν παθῶν ὁ ἄνθρωπος διορίζεται, ἢ γοῦν καί ποτε καὶ ὑπὸ τοῦ ἐν αὐτῷ λόγου; Εἰ μὲν οὖν ἐκεῖνο, ᾤχετο πάντῃ τὸ αὐθαίρετον· εἰ δὲ τοῦτο, μέτεστιν ἡμῖν τοῦ ἐλευθέρου. Δέον δὲ παρὰ ταῦτα καὶ τὴν καθ' ἕξιν ἐλευθερίαν τῆς χρήσεως αὐτῆς διαστέλλειν· οὕτω γὰρ ἂν ῥᾴδιον εἴη καί τινα τῶν κινουμένων ζητημάτων ἐπιλύειν. Οἷον Ἀκυνάτης (μέρ. Α'. τῆς θεολογ. συνόψ. ζητ. ΠΒ'. καὶ ΠΓ'.) ζητήσας πότερον δύναμις ἕξει τινὶ συνημμένη ἐστὶν ἡ ἐλευθερία; καὶ εἰ ἥτε ἐλευθερία, καὶ ἡ θέλησις, δύο δυνάμεις εἰσίν; ἀπέφη ἑκάτερον· ὤφειλε δὲ διακρῖναι. Ἡ γὰρ ἐλευθερία ἀφαιρεθεῖσά πως καὶ ἀποσπασθεῖσα τῆς χρήσεως, οὐδὲ βούλησις ἐστὶν, οὐδὲ ἕξις· ἡ δὲ τῆς ἐλευθερίας χρῆσις, ἀμφοτέροις συνέζευκται. Ἐξ ὧν κἀκεῖνο ῥᾶστα ἂν κατανοηθείη, ὡς τῇ μὲν ἐλευθερίᾳ ἐν γένει ληφθείσῃ ἀνήκει δῆθεν ἡ ἀπὸ ἀνάγκης καλουμένη τοῖς Σχολαστικοῖς ἐλευθερία· τὰ δὲ λοιπὰ εἴδη τῆς τε ἀδιαφορίας, ἥ φασι, καὶ ἀντιφάσεως, καὶ ἐναντιότητος, τῇ χρήσει τῆς ἐλευθερίας εἰσὶν ἐπανήκοντα. Ταῦτα μὲν εἴπερ οἱ Σχολαστικοὶ ἐμελέτησαν, πολλῶν ἂν κουφοτέρων συζητήσεων ἀπηλλάγησαν.

## Ὁρισμὸς ΙΔ΄.

„Θέλησις ἐστὶν ὁ τοῦ νοῦ ἔσχατος διορισμὸς, καθ᾽ ὃν τὸ παρεστὸς ἑαυτῷ ἀ-
„γαθὸν ἀσπάσασθαι, καὶ τὸ κακὸν ἐκφυγεῖν κατὰ λόγον, οὗ αὐτὸς ἑαυτῷ
„σύνοιδεν ἐνόντα, ὁ νοῦς διορίζεται.

## Σχόλιον.

Ἔστιν οὖν ἡμῖν ἡ μὲν ἐλευθερία ὡς δύναμις, ἡ δὲ θέλησις ὡς ἐνέργεια ταυτησὶ τῆς δυνάμεως. Προσέχων δὲ ἕκαστος ἑαυτῷ, ταῦτα τὰ πέντε διακρινεῖ. Α΄. τὴν διάνοιαν, ἥτις δύναμίς ἐστι τοῦ νοεῖν καὶ κρίνειν. Β΄. τὰς ἀντιλήψεις τοῦ ἀγαθοῦ, ἢ κακοῦ, αἵτινες τῆς διανοητικῆς δυνάμεως εἰσὶν ἐνέργειαι. Γ΄. τὰς ῥοπὰς, ἢ ἀποστροφὰς, ἃς ἀνάγκη ἐξ ἐκείνων τῶν ἀντιλήψεων ἀναφύεσθαι. Δ΄. τὴν δύναμιν τοῦ αἱρεῖσθαι μετὰ λόγου, ἢ ἀποτρέπεσθαι. Ε΄. αὐτὴ δὴ ἡ αἵρεσις, ἢ γοῦν ὁ ἀποτροπιασμός. Τούτων οὖν τὸ μὲν Δ΄. παρ᾽ ἡμῖν ἡ ἐλευθερία τυγχάνει· τὸ δὲ Ε΄. ἡ θέλησις. Εἰ δὲ καὶ φωναῖς τῶν ἄλλων ἐπὶ τῶν τοιούτων διενηνόχαμεν, ἀλλὰ προσεκτέον ἡμῖν μᾶλλον τοῖς λεγομένοις, ἢ ὅπως λέγεται.

## Ὁρισμὸς ΙΕ΄.

„Ἕξεις εἰσὶ ψυχῆς δεξιότητες ἐπὶ τὸ ῥᾷδιον ἐνεργεῖν, ἢ ἐσωτερικῶς, οἷον
„νοεῖν καὶ θέλειν, ἢ γοῦν καὶ ἐξωτερικῶς, οἷον γλῶτταν κινεῖν, καὶ χεῖρας, κτ.

## Σχόλιον.

Τὰς μὲν οὖν ἕξεις διὰ πυκνῶν καὶ ἐπανειλημμένων ἐνεργειῶν προσανακτᾶσθαι τοὺς ἔχοντας, ἀρχαῖός τε καὶ ἀληθὴς οὐδὲν ἧττον ἐν φιλοσόφοις φέρεται λόγος. Οἷα γὰρ ἀρτιθαλὲς φυτὸν, πυκνῶς ἐπικαμφθὲν χειρὶ φυτοκόμου, θέσιν δυσαπάλλακτον προσεκτήσατο, οὕτω τοι καὶ φύσις ἀνθρώπου, ἐφ᾽ ὃ πολλάκις εἰργάσατο, ῥοπήν τινα ἐπιδεξαμένη ὑπ᾽ αὐτῆς, ἡδέως τε καὶ ῥᾷδιον ἐνεργοῦσα, οἱονεὶ ἐμπεφυκυίας αὐτῇ ἐφέλκεται ἀχθηδόνος καὶ καταφέρεται. Φύσει μὲν γὰρ πρὸς οὐδὲν ἄλλο ῥέπομεν, εἰμὴ ἐπὶ τὴν ἑαυτῶν φυλακὴν καὶ συντήρησιν, τὰς δὲ ἐπὶ τὰ ἐκτὸς ἡμῶν κλίσεις ἐκ τῆς ἐν τῷ βίῳ πορίζομεθα κοινωνίας· εἰς ἅ,τε πυκνότερον ὑπό τε τῶν ἐκτὸς ἡμῶν, καὶ τῶν ἐνδοτέρων διανοήσεων τῆς ψυχῆς προσεῶσθαι ἡμᾶς γένηται, πρὸς ταῦτα ἐπιῤῥωννυμένης ἡμῖν παρὰ τὸ ἐνδελεχὲς τῶν ἐνεργημάτων τῆς κλίσεως, ἕξιν ἑδραίαν περιβαλλόμεθα, ἣν καὶ φύσιν ἄντικρυς οἱ σοφοὶ ὀνομάζειν χαίρουσιν. Ἐκ δὲ τούτων φανερὸν Α΄. τὶ ὅτι μακρᾷ πλειόνων ἐνεργειῶν ἐπαναλήψει καὶ συνεχείᾳ αἱ ἕξεις ἡμῖν πε-

ριγίγνονται; Β'. ἢ τῦ χάριν ῥάδιον ἐφ' αἷς σὺν ἡδονῇ γυμναζόμεθα; Γ'. ἢ τί δή ποτε εὐχερέςερον αἱ σωματικαῖς κινήσεσι ἢ τοῖς ἐκ τῆς φαντασίας ἰνδάλμασι συνιςάμεναι; Δ'. τίνος ἕνεκα αἱ διανοητικαὶ τῶν ἕξεων δυσπόριςοί τε εἰσὶ ἢ εὐαπόβλητοι; Ε'. ἵνα τί τοῖς ἁπαλωτέροις τὴν ἡλικίαν κρείττων ἡ πρὸς τὰς ἕξεις δεξιότης, ἢ τοῖς ἤδη πρασήλιξιν; ϛ'. καὶ τίς ὁ λόγος, δι' ὃν οἱ ὅλαις ὅτω φαῦαι δυνάμεσιν ἕξει τινὶ σφᾶς αὐτὲς προσαφοσιώσαντες, ἀφυεῖς πρὸς ἑτέραν ἕξιν σχεδὸν καθίςανται; Πέρας ἢ γὰρ ἡμῶν τῇ φύσει ἐπίκειται, ἢ παραπλήσιόν τι πέπονθεν ὁ ὅτως ἐπιθέμενος, ὡς εἴτις δυνάμεως κινητικῆς εὐμοιρῶν $= 4$, τῇ δεξιᾷ δυνάμει $= 4$ κινήσειέ τι· οὐ δὲ γὰρ δυνήσεταί τι περαιτέρω διὰ τῆς ἀριςερᾶς διαπράξασθαι, ἅτε δὴ ὅλῃ ἐφ' ἓν τῇ δυνάμει χρησάμενος. Τελευταῖον δὲ ἢ τὸ Ἀριςοτέλειον ἐκεῖνο ἐκ τῶν εἰρημένων εὐξύνετον, ὃ διὰ πολλῶν ἐν τῷ Β'. τῶν πρὸς Νικόμαχον ἀναπτύσσεται· μηδεμίαν ἀμέλειτοι ἕξιν ἡμῖν ἔμφυτον εἶναι. Ἀλλὰ γὰρ περὶ τῶν θεοπνεύςων θεολογικῶν ἕξεων ἄλλος λόγος. Ἡ γὰρ κατὰ βραχὺ ἢ μόλις διακαμπτομένη φύσις, σθένει τῷ τῦ παντεργῦ ἐν ἀκαρεῖ ἔχει διακαμφθῆναι.

## Ὁρισμὸς Ιζ'.

,,Πάθημα καλῦμεν τὴν ἐμποιυμένην τῇ ἀνθρωπίνῃ φύσει ταραχὴν ἐκ ,,τῆς ἀντιλήψεως τῦ ἀγαθῦ, ἢ κακῦ· τοιαῦτα ἀγάπη, ἢ φόβος, ἢ ὀργή, ,,καὶ τὰ παραπλήσια.

## Σχόλιον.

Ὁ μὲν οὖν Καρτέσιος ὁρισάμενος τὰ πάθη ἀντιλήψεις, ἢ αἰσθήσεις, ἢ ταραχὰς τῆς ψυχῆς, διὰ τῆς τῶν πνευμάτων (ἤτοι τῦ ἐν τῷ σώματι ὑγρῦ, ὅπερ οἱονεὶ μέση τις ψυχὴ θεωρεῖσθαι ἔχει) κινήσεως παραγομένας, διασωζομένας, ἢ ῥωννυμένας (1), προφανῶς σφάλλεται διαςρέφων τὴν τάξιν, ἢ αἰτίαν εἶναι τῶν παθημάτων τιθέμενος τὸ αἰτιατόν. Οὐ γὰρ αἱ ἀντιλήψεις, ἢ αἰσθήσεις, ἃς ἐκεῖνος πάθη ἀποκαλεῖ, ὑπὸ τῆς τῶν πνευμάτων κινήσεως παράγονται ἢ διασώζονται· τἐναντίον δὲ αὗται αἱ τῆς ψυχῆς, ἤτοι τῦ ἐν ἀνθρώπῳ αἰσθητικῦ, ταραχαὶ, ἢ κινήσεις ἀρχὴν οἴδασι τὴν διανόησιν ἢ ἀντίληψιν. Τῇ γὰρ ἐπιβολῇ τῦ ἀγαθῦ, ἢ κακῦ, ἢ ἐπιςάσει τὰ πάθη ἐπιτείνεσθαί τε ἢ ῥώννυσθαι, εἴτις μηδαμῶς ἑαυτῷ προσέχέ ποτε τὴν διάνοιαν, ἀποφήσειεν ἄν.

---

(1) Περὶ παθ. ψυχ. μέρ. Α'. ἄρθ. 27.

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Ὁ ρ ι σ μ ὸ ς ΙΖ.

„Μακαριότης ἐστὶν ἡ ἐν ἀπολαύσει κατάστασις ἄνευ ἄλγους, ἀθυμίας, „φόβου, ἤτοι κατάστασις ἡδονῆς τελείας.

## Σχόλιον.

Ὁ δὲ Βοετίου ὁρισμὸς, ὃν ἅπαντες ἠσπάσαντο, τὴν μακαριότητα ὑπογράφει κατάστασιν τῷ ἀθροίσματι παντὸς ἀγαθοῦ τελείαν. Ὁ μέντοι ὁρισμὸς μᾶλλον ἀφορᾷ τὴν αἰτίαν τῆς μακαριότητος, ἢ ταύτην. Τῷ γὰρ ὄντι, ὡς ἀκριβῶς Καρτέσιος (1) ϗ Οὐόλφιος (2) σεσημειώκατον, οὐχὶ τῶν ἀγαθῶν ἡ ἄθροισις μακαρίους ἡμᾶς ἀναδείκνυσιν, ἀλλὰ τὸ συνειδέναι τὴν ἐνοῦσαν ἡμῖν τελειότητα, τὴν ἐξ ἐκείνων τῶν ἀγαθῶν ἐκπηγάζουσαν, περὶ οὗ ὕστερον. Παραπλήσια δὲ τῷ Βοετίῳ ἐξαμαρτάνουσι ϗ ὅσοι, πεύσεως γενομένης ἐν τίνι ἡ τῆς μακαριότητος κεῖται φύσις, παντοῖα γένη ἀγαθῶν καταλέγουσι, ϗ τούτων ἐν ἑνί τινι, ἢ πλείοσι κεῖσθαι διδάσκουσιν. Ἡ γὰρ μακαριότης ἐν τῇ ἀδιαπτώτῳ ϗ τελείᾳ ἡδονῇ κεῖται· ἐκ τίνος δὲ ἡ ἡδονὴ αὕτη τῇ ψυχῇ ἐμποιεῖται, ἄλλος λόγος. Εἰπὼν δὲ ἐν ἡδονῇ τελείᾳ κεῖσθαι τὴν μακαριότητα, τὴν ἀνθρώπῳ φημὶ προσήκουσαν· οὐδ᾽ ἔστιν ἐπάναγκες διακρίνειν τὴν τῆς ψυχῆς ἡδονὴν τῆς τοῦ σώματος· ἡ γὰρ ἡδονὴ τῆς ψυχῆς κυρίως ἐστὶ, φύσεως ἀμέλειτοι ζώσης ϗ αἰσθητικῆς. Τὸ δὲ ζητεῖν, πότερον ἐξ ἀντιλήψεως τῶν τῆς ψυχῆς ἀγαθῶν, ἢ γοῦν ἐκ τῆς συνειδήσεως τῶν τοῦ σώματος τῆς ἡδονῆς τὸ αἴτιον, ϗ τῆς ἐξ αὐτῆς ϗ ἐν αὐτῇ κειμένης μακαριότητος, τὸ αἴτιον ἐστὶν ἀνιχνεύειν, οὐχὶ δὲ τὸ τί ἦν εἶναι τῆς μακαριότητος ἀναπτύσσειν. Καὶ ἀδίκως ἄρα καταφέρεται πρὸς Ἐπίκουρον ὁ Κικέρων (3), ἐν ἡδονῇ τιθέμενον τὸ μακάριον, οἷον ἐν τῇ κοιλίᾳ, ϗ τοῖς ὑπ᾽ αὐτήν· οὐδὲ γὰρ ἐπὶ τούτων ἡ τῆς ἡδονῆς φωνὴ μόνον ὁρίζεται· οὐδέ γε τυχὸν περὶ τῶν ποιητικῶν τῆς ἡδονῆς, ἀλλὰ περὶ φύσεως τῆς αὐτῆς φιλοσοφῶν ἀνεφθέγγετο Ἐπίκουρος, ὃς ϗ κατάπτυστος ἂν εἴη μάλα εἰκότως, ἐν τοῖς αἰσχίστοις τὴν ἡδονὴν τιθέμενος, οὐχὶ δὲ ϗ ἐν αὐτῇ τῇ ἡδονῇ (ὀρθῶς ἐκληφθείσῃ) ὁριζόμενος τὸ μακάριον.

## Ὁ ρ ι σ μ ὸ ς ΙΗ.

„Ἀρετή ἐστιν ἕξις τὰς τοῦ ἀνθρώπου λογικὰς τελειοῦσα δυνάμεις. Ἡ δὲ

(1) Ἐπιστ. πρὸς Ἐλισάβετ μέρ. Α΄.

(2) Ψυχολογ. ἐμπειρικῇ.

(3) Βιβλ. Α΄. περὶ τελῶν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

,, κακία ἕξις, χείρονας τὰς αὐτὰς καθιςῶσα. Ἡ τοίνυν ἠθικὴ ἀρετὴ τὰς λο-
,, γικὰς δυνάμεις πρὸς τὴν μακαριότητα τελειοῖ. Ἡ δὲ κακία δυσκινητοτέρας
,, πρὸς αὐτὴν ἀπεργάζεται.

## Σχόλιον.

Συνᾴδει καὶ ὁ τῦ Αὐγυςίνυ ὁρισμὸς, τὴν ἀρετὴν χρῆσιν ἀγαθὴν εἶναι τῦ αὐτεξυσίυ ἀποφαινόμενος (1). Ὁ δὲ Καρτέσιος, τὴν ἀρετὴν ἐν τῇ ἑδραίᾳ καὶ εὐςαθεῖ προθέσει τῦ τελεῖν ὅσα τῷ ἀνθρώπῳ ὁ λόγος ὁ ἑαυτῦ ἀναπείθει, μηδαμῶς ὑπὸ τῶν παθῶν καὶ ὀρέξεων τῆς προθέσεως ταύτης ἀπάγεσθαι ἐπιτρέποντι (2), ὁρισάμενος, ὐκ ὀρθῶς ἔοικε περὶ ἀρετῆς πεφρονηκέναι· τὐναντίον γὰρ περιφανῦς φαυλότητος τόδε κεφάλαιον, ἰσχυρογνωμόνως τῇ κατὰ τὸν ἴδιον λόγον προθέσει ςηρίζεσθαι, σφαλερόν τε ὄντα καὶ κῦφον. Διὸ καὶ Σολομῶντι δοκεῖ μηδένα παρ᾽ ἑαυτῷ μάλα σοφὸν εἶναι καὶ συνετόν. Οἱ δὲ ἐκ τῦ περιπάτυ καὶ τῆς ςοᾶς πληρέςερον ἀπέδωκαν τὸν ὁρισμὸν, ἢ Καρτέσιος, τὸ ςεῤῥῶς κατὰ τὸν ὀρθὸν λόγον βιῦν ἀρετὴν εἰπόντες. Καὶ πάνυγε ὀρθῶς τῷ ὄντι, εἰ σαφῶς ἦν παρὰ πᾶσιν ὁ αὐτὸς λόγος ὀρθὸς, συμφώνως ὁμολογύμενος. Ἤδη δὲ οἱ μὲν Στωϊκοὶ (3) τὸν λόγον, καθ᾽ ὃν προσαγορευόμεθα λογικοὶ, ἐκ τῶν προλήψεων (αὗται δὲ εἰσὶ κατ᾽ αὐτὺς αἱ φυσικαὶ ἔννοιαι, αἳ τῷ ἡγεμονικῷ μέρει τῆς ψυχῆς, ἐξ αὐτῆς ἀνθρώπυ γεννήσεως, ὥσπερ χάρτῃ διὰ τῶν αἰσθήσεων ἐναπογραφόμεναι) συμπληρῦσθαι ᾤοντο. Οἱ δὲ Ἀκαδημαϊκοὶ ἐπισφαλεῖς τὰς τοιάσδε προλήψεις ἡγέμενοι, λόγον ὀρθὸν προσεκάλυν τὴν τῶν αἰωνίων καὶ ἀτρέπτων εἰδῶν κατανόησιν. Ἀριςοτέλης δὲ (4) τῷ διαπυνθανομένῳ ἐν τίνι ὁ ὀρθὸς κεῖται λόγος, εἰμὴ παρὰ σεαυτῷ, ἀπήντηκε, τηλικαύτην ἔχεις τῶν ὄντων αἴσθησιν, ὐδὲν ἀνύσεις. Καὶ ἐν ἄλλοις, τὸ βιῦν κατὰ τὰς ψήφυς τῦ μεγίςυ βασιλέως Θεῦ, τῦτο τὸ κατ᾽ ὀρθὸν λόγον βιῶναι, ὀρθῶς μὲν, ἀλλ᾽ ἐπεὶ τὰς ψήφους ταύτας ὐκ ἐξηγήσατο, ἐλλιπῶς ἀπεφθέγξατο. Ἕτερον ἡμῖν προχειρίζεται τῆς ἀρετῆς ὁρισμὸν Ἑνρῖκος ὁ Μόρος (5), δύναμιν ὑπογράψας νοε-

---

(1) Βιβλ. Α. τῶν ἐπανορθ. Κεφ. Θ.
(2) Ἐπις. μέρ. Δ'. ἐπις. Δ'.
(3) Πλυτ. περὶ Ἀρεσκ. Βιβλ. Δ. Κεφ. ΙΑ.
(4 Ἐν τοῖς μεγ. Ἠθ. Βιβλ. Β'. Κεφ. Γ.
(5) Ἐγχειρ. ἠθ. Βιβλ. Α. Κεφ. Γ'.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρὰν τῆς ψυχῆς, ἢ τῶν ζωτικῶν προσβολῶν, ἤτοι τῶν σωματικῶν παθῶν κρατεῖ, πρὸς τὸ δὶ ἑκάστης ἐνεργείας εὐμαρῶς θηρᾶσθαι τὸ ἁπλῶς ἄριστον. Ἀλλὰ δύναμιν εἰπὼν τῆς ψυχῆς, εἰ μὲν ἔμφυτον, ὃ καὶ δοκεῖ, ἐνόμισε, ζητήματος ὑπεράλλεται πολυκρότου παρὰ τοῖς Ἕλλησι φιλοσόφοις, ὧν οἱ μὲν ἐπίκτητον τὴν ἀρετὴν ἐδόξαζον, οἱ δὲ ἔμφυτον. Εἰ δὲ ἐπίκτητον ἐφρόνει, πῶς ἔπειτα τῶν ἕξεων τὰς ἀρετὰς ἐκκλείει; ἔπειτα δὲ καὶ τὸ ἁπλῶς ἄριστον, ὃ θηρᾶσθαι τὴν ἀρετὴν ἔφησεν, ἀόριστον πάντῃ εἴασε, καίτοι λίαν τοῖς φιλοσοφοῦσι ζητούμενον. Τελευταῖον δὲ ὁ Βουδδαῖος (1) τὴν ἀρετὴν ὑπέγραψε στερράν τε καὶ σπουδαίαν μελέτην τοῦ ἐν ἅπασι τῷ θείῳ βουλήματι πειθαρχεῖν· εἶναι δὲ Θεοῦ δῶρον τὴν ἀρετὴν ἀπεφήνατο. Καὶ καλῶς ἦ που. Ἀλλ' οὐδεμίαν διὰ μόνου τοῦ φυσικοῦ νόμου τελεσθῆναί ποτε τοῦ ἐξ ἐθνῶν ἀρετὴν φήσομεν; Οὐ δοκεῖ. Ἔθνη καὶ γὰρ τὰ μὴ νόμον ἔχοντα, φησὶ, φύσει τὰ τοῦ νόμου ποιεῖ.

## Αἰτήματα.

„Α΄. Δέον φιλοσοφεῖν ἐξ ὧν ἰδεῶν κατὰ νοῦν φέρομεν· πᾶσα γὰρ ἡμῶν „ἡ γνῶσις τὰς ἐν ἡμῖν ἰδέας πέρας κεκλήρωται. Διὸ καὶ τῇ ἐκ τῶν ἰδεῶν δὴ „τούτων τῶν ἡμετέρων ἀναφυομένῃ ἐπιστήμῃ ἀγαπητέον. Εἴτις ἄρα φιλοσο„φῶν ἡμῖν ὑποθείη τὰ ὑπὲρ τὰς ἰδέας, ἃς ἔχομεν, ἀλλόμενα, καὶ πᾶσαν περί„νοιαν διαφεύγοντα, ὁ τοιοῦτος ὡς ἀπατεὼν λογιζέσθω.

## Σχόλιον.

Χαλινὸς οὗτος περιάπτεται ταῖς ἐκτόπως ἀκολασταινούσαις διανοίαις, καὶ φανητιᾷν χαιρούσαις. Τοῖς γὰρ ὑπὲρ τὰ συνήθη καινά τινα καὶ θαυμαστὰ παρεισάγειν ἐν φιλοσοφίᾳ δόγματα οἰομένοις, ἀείποτε συνέβη παρεμπεσεῖν τερατολογίαις τισὶν ἐπιπλάστοις καὶ ἀνυποστάτοις, ἃς τοσούτου δεῖ τοὺς ἄλλους συνηθῆναι πεῖσαι, ὡς οὐδὲ σφᾶς αὐτοὺς οἶμαι. Καὶ θαυμάζεσθαι δόξαντες οἱ τοιοῦτοι, καταγέλαστοι παρὰ τοῖς ὑγιέσι τὰς φρένας ἔδοξαν. Τοιαῦτα κενολογοῦντες ξένα τε καὶ ἀλλόκοτα ὤφθησαν, Πυθαγόρας τοὺς ἀριθμοὺς, καὶ τὸν νοερὸν ἐκεῖνον κόσμον, καὶ τὰς ἐν τούτῳ τῷ αἰσθητῷ μετεμψυχώσεις εἰσηγησάμενος· καὶ Πλάτων τὰς ἰδέας αἰωνίους τε καὶ ἐνυποστάτους πρὸ τῶν ὄντων τούτων ἱδρύειν λεγόμενος· Ἀριστοτέλης τὴν ὕλην μονοειδῆ, ἀπέραντον, καὶ ἁπλῆν, καὶ εἴδη, οὐκ οἶδ' ὅ-

---

(1) Θεολ. Ἠθ. Κεφ. Α. τμ. Δ. §. 129.

ποῖα, οὐσιώδη εἰσαγαγών· καὶ νῦν τὸν καθόλου οἱ Ἄραβες ὑποστησάμενοι· καὶ ψυχὴν τοῦ κόσμου ὅλου, ϗ αἴσθησιν, ϗ ἀντίληψιν οἱ περὶ Καμπανέλλαν, ϗ Φλούδδιον, ϗ Κοδβόρτιον· καὶ τὴν ἐν αὐτῷ τῷ Θεῷ τῶν πάντων κατανόησιν ὁ Μαλεβράγχιος ἐκδιδάξας· τήν τε προδιαταχθεῖσαν ἁρμονίαν ὁ Λεϊβνίτιος, ϗ τὰς θαυμαστὰς μονάδας, ὧν ἑκάστη ὁλοσχερὲς τὸ πᾶν πέφυκε παριστάνει· ϗ μυρία, ὅσα ἄνδρες χρονοληρεῖν μᾶλλον, ἢ φιλοσοφεῖν δοκοῦντες παρέδωκαν.

„Β΄. Δέον ὡς ἀσφαλῆ κατέχειν ϗ βεβαίως ἔχοντα, τὰ ἐναργεῖ νοῦ ἐ-
„ποπτείᾳ ϗ συνειδήσει, ἢ σαφεῖ ἀποδείξει τοῖς πᾶσι κατανοούμενα. Ὅς γὰρ
„ἂν τῷ χαρακτῆρι τούτῳ τοῦ ἀληθοῦς ἀπιστοίη, οὗτος ἐκ βάθρων αὐτῶν ἅπα-
„σαν ἐπιστήμην καθαιρεῖ τε ϗ περιτρέπει.

## Σχόλιον.

Κριτήριον τοῦ ἀληθοῦς οἱ μὲν Ἐπικούρειοι ϗ οἱ Στωϊκοὶ τὴν ἐνάργειαν τῶν φαντασιῶν ϗ τῶν προλήψεων ἐτίθεντο. Οἱ δὲ Πλατωνικοί, οἱ τῶν σωμάτων ὡς μὴ ὄντων, ἅτε δὴ μὴ αἰωνίων, οὐδὲ ἀτρέπτων, ἐπιστήμην μὲν οὐδεμίαν, ὑπόληψιν δὲ μόνην ἔχειν ἐξεῖναι ἡγούμενοι, τὴν ἀκραιφνῆ τῶν θείων ἰδεῶν νόησιν, ἃς τοῖς ἄλλοις νόοις ὁ ὑπέρτατος νοῦς κοινωνεῖ, κριτήριον ἀληθείας εἰσῆγον. Οἱ δὲ Στωϊκοὶ μηδὲν εἶναι τοιοῦτον κριτήριον ᾤοντο. Τούτων οὖν παραλειφθέντων, οἷς οὐδεὶς ἂν εὖ ἔχων τὰς φρένας συνεπινεύσειέ ποτε, οἱ νεώτεροι ἁπαξάπαντες τὴν ἐνάργειαν καὶ σαφήνειαν ἀληθείας τυγχάνειν προφανὲς γνώρισμα ἑνὶ στόματι ὁμολογοῦσιν· ἐν τούτῳ δὲ διαφέρουσιν, ὅτι τούτων οἱ μὲν τὴν κατὰ τοὺς Στωϊκοὺς ἐνάργειαν, οἱ δὲ τὴν κατὰ τοὺς Πλατωνικοὺς ἀσπάζονται, ὅπως ἀμέλει περὶ τὴν οὐσίαν τῆς ψυχῆς δόξης ἔχουσιν ἀσώματον αὐτήν, ἢ σωματικὴν σὺν Ἐπικούρῳ ὑποτιθέμενοι. Ὁ μὲν οὖν Καρτέσιος τὴν ἐναργῆ ϗ καθαρὰν νόησιν τῷ Πλάτωνι συμφρονῶν εἰσῆγεν (1). Ὁ δὲ Συγγραφεὺς τοῦ περὶ ἐπανορθώσεως νοῦ ἐπὶ τέτταρα εἴδη πᾶσαν γνῶσιν διαστειλάμενος, διὰ μαρτυρίας, διὰ πείρας, δι' ἀναλογίας, ϗ διὰ τῆς ἰδίας οὐσίας, εἴτουν διὰ τοῦ προσεχοῦς αὐτοῦ αἰτίου, προσέθετο μόνον τὸν τέταρτον τρόπον περιέχειν πληρεστάτην τὴν οὐσίαν τοῦ πράγματος, ϗ ἄνευ τοῦ πρὸς ἀπάτην κινδύνου. Πρὸς τοῦτο δὲ τείνει ἡ δόξα αὕτη, ὅτι ἀληθὴς ἐπιστήμη τὸ γινώσκειν τὰ μὲν αἰώνια ἐν ἑαυτοῖς ϗ τῷ αὐτῶν οὐσιώδει λόγῳ, τὰ δὲ δη-

(1) Ἐν τοῖς μετὰ τὴν ἀποβίωσιν αὐτοῦ ἐκδεδομ. πονήμασι Σελ. 362.

μιȣργητὰ ἐν ταῖς ἀμέσοις αὐτῶν αἰτίαις. Ο῾ δὲ τῆς ἀληθȣ̃ς ἐπιςήμης χαρακτὴρ, αὐταὶ δὴ εἰσὶν αἱ ἀληθεῖς ἰδέαι, αἱ τῇ αὐτῶν ἐναργείᾳ ϗ καθαρότητι αὐτολαμπεῖς καθιςάμεναι ϗ αὐτόφωτοι. Ε῎ςι δὲ ἡ διδασκαλία αὕτη ȣ̓δὲν τῆς τῶν Πλατωνικῶν διαφέρȣσα, ϗ τῆς Αὐγȣςίνȣ, ϗ τῆς Μαλεμβραγχίȣ ἐν νεωτέροις. Α᾽μέλειτοι ἀληθῶς ἐπιςήμην εἶναι, τὸ τὰ μὲν αἰώνια ἐν ἑαυτοῖς, τὰ δὲ γεγονότα ἐν ταῖς οἰκείαις αἰτίαις γιγνώσκειν, ϗ κριτήριον τυγχάνειν τῆς γνώσεως τὴν ἐνάργειαν. Διακριτέον οὖν ταῦτα τὰ δύο. Α῎. τίς ἡ μέθοδος τȣ̃ εὐθὺ ἰέναι πρὸς τὴν ἐπιςήμης θύραν; Β῎. τί ποτ᾽ ἂν εἴη τεκμήριον τȣ̃ ἤδη ἀφικέσθαι, ϗ μὴ παρεκτραπῆναι εἰς ἀπάτην περιπεσόντας; Καὶ μέθοδον μὲν θετέον τὸ θηρᾶσθαι ἐν ταῖς νοηταῖς αὐτῶν οὐσίαις, καὶ ἐν ταῖς ἰδίαις αἰτίαις ταῖς προσεχέσι τε ϗ ἀμέσοις ἕκαςα. Δεῖγμα δὲ τȣ̃ μὴ ἠπατῆσθαι ἡ μηδὲ ἴχνος γȣ̃ν ὑπονοίας τῇ διανοίᾳ καταλείπȣσα ἐνάργεια. Οἷον οἶδα πάσας τὰς ἀπὸ τȣ̃ κέντρȣ ἐπὶ τὴν περιφέρειαν τȣ̃ κύκλȣ ἀγομένας εὐθείας ἴσας ἀλλήλαις εἶναι· καὶ τὰς ἐν τῷ κύκλῳ ἴσας εὐθείας ἐξίσȣ ἀπὸ τȣ̃ κέντρȣ ἀφίςασθαι· καὶ ὅτι ἐὰν ἐν τῷ κύκλῳ ὦσι τεμνόμεναι εὐθεῖαι, τὸ ὀρθογώνιον τὸ ὑπὸ τῶν τμημάτων τῆς ἑτέρας ἶσον ἐςὶ τῷ ὀρθογωνίῳ τῷ ὑπὸ τῶν τμημάτων τῆς ἑτέρας· ἄλλα τε πλείω τȣ́των ἐξ αὐτῆς τῆς φύσεως τȣ̃ κύκλȣ πηγάζοντα ἐπίςαμαι. Α᾽λλ᾽ εἴμȣ πύθοιο, πόθεν οἶδα ταῦτα; Φημὶ δὴ ὅτι τῇ ἀμέσῳ αἰτίᾳ τȣ̃ κύκλȣ, ϗ τȣ́τȣ τῷ λόγῳ τῷ οὐσιώδει, ἀφ᾽ ȣ̃ προβλυςάνει, ἐφιςὰς ἀτενῶς τὴν διάνοιαν, ἐνορῶ τε ϗ ἐνοπτάνομαι. Ἢν δ᾽ αὖ ἐρήσῃ, τῷ τȣ̃το κρίνω, ὅτι ταῦτα γε τῇ τȣ̃ κύκλȣ ἐνορῶ φύσει; δεῖγμα προτίθεμαι τὴν ἐναργῆ τε ϗ διακεκριμένην, ἣν ἔχω, τῆς φύσεως τȣ̃ κύκλȣ περίνοιαν. Καὶ ȣ̃τος μὲν, ὃν ἔχειν δυνάμεθα, γνώσεως ἀσφαλȣ̃ς χαρακτὴρ, ϗ ἀληθείας κριτήριον.

„Γ῎. Ε᾽ὰν αἱ μὲν ἀρχαὶ τῶν ἀποδείξεων ἐναργεῖς ὦσιν, ἡ δὲ συνέ„πεια ἀναγκαία, ȣ̓ χρὴ περαιτέρω περὶ τῶν ἀποδεδειγμένων ἀμφισβητεῖν, „κἂν ἔτι τυχὸν περὶ τὸ ἐπιφερόμενον ἄλλοθεν ὑπολείποιτό τις ὑπόνοια, οἷον „διὰ τὴν συνηλικιωθεῖσαν ἡμῖν ἐκ νηπιότητος πρόληψιν, ἢ φαντασίαν.

## Σχόλιον.

Οἷον ἐφ᾽ ᾧ τῷ τȣ̃ Καρτεσίȣ (1) χρήσωμαι ὑποδείγματι, ἐναργεῖς ἀποδείξεις διαπιςȣ̃σι τὸν ἥλιον τῆς ἡμῖν οἰκȣμένης γῆς πολλῷ εἶναι μείζονα. Α᾽λλ᾽ οὐδὲν ἧττον τὸ ἐπιφερόμενον τὴν ἐκ τῶν αἰσθήσεων πρόληψιν διηνεκῶς

(1) Α᾽πόκ. πρὸς τὰς ς῎. ἐνςάσ.

ἡμῖν ὑποβάλλει. Ὡσαύτως πάνυ σαφῶς ἀποδείκνυται, τὰ σώματα πάντα, καὶ τούτων χροιὰς, καὶ σχήματα, καὶ ἀποστάσεις, κτλ. ἐντὸς ἡμῶν καθορᾶσθαι. Οὐ μὴν ἀλλὰ καὶ τῶν φιλοσοφούντων οὐχ ἥκιστα εἰσί τινες, οἱ τῆς ἐκ τῶν αἰσθήσεων προλήψεως περὶ τούτου μόλις ἀπαλλαχθῆναι δυνάμενοι. Ὀρθῶς ἄρα παρῄνει Πλάτων ἐν τῷ φιλοσοφεῖν αἰσθήσεών τε καὶ φαντασίας χρῆναι ἀπέχεσθαι, τῶν ἀχλὺν ἐπιπασσουσῶν βαθεῖαν τῇ διανοίᾳ. Ἐξ οὗ καὶ τοὺς πάλαι καὶ νεωτέρους Ἐπικουρείους καὶ Στωϊκοὺς εἰκάσειέ τις ὅσον τοῦ ἀληθοῦς φιλοσοφοῦντες ἐκπίπτουσιν, οἱ ταῖς αἰσθήσεσι καὶ τῇ φαντασίᾳ, ἃς ἔχουσι γνώσεις, καταπιστεύοντες.

## ΚΕΦΑΛ. Α'.

## Περὶ φύσεως τῆς ψυχῆς.

### Πρότ. Α'.

„Ἐὰν ἡ ψυχὴ σῶμα ᾖ, ἢ σώματος ἴδιον, ποιότης, διάθεσις, οὐχὶ δ' „οὐσία τοῦ σώματος διακεκριμένη, ἡ τῶν ἰδεῶν παράστασις καὶ ἀντίληψις, ἥτε „κρίσις καὶ ὁ συλλογισμὸς, οὐκ ἄλλως ἂν γένοιντο, ἢ κινήμασι τῶν μερῶν τοῦ „σώματος, ἤτοι ἐνεργήσει τε καὶ ἀντενεργήσει τῶν ἰνῶν καὶ νευριδίων τῶν αἰ„σθήσεων καὶ τοῦ ἐγκεφάλου, ἢ γοῦν ἐνεργείᾳ ἑτέρου τινὸς οἱουδηποτοῦν ὑγροῦ.

### Σχόλιον.

Οὐδεμίαν γὰρ ἄλλην ἐνέργειαν ἴσμεν τῇ σωματικῇ φύσει προσιδιάζουσαν, οὐδ' ἂν δίκαιον τινὰ ἔλεγχον ὑποσταίημεν, εἰ ἐξ ὧν κοινῇ ἅπαντες ἔχουσιν ἰδεῶν φιλοσοφοῦμεν (αἴτ. Α'.) (1). Ἀλλὰ φασὶν ἀποφατικὸν εἶναι τοὐπιχείρημα, καὶ οὐδὲν ὑγιὲς ἐπιφέρειν. Πρὸς ὃ δὴ φαμὲν ἀποφατικὸν εἶναι τὸ ἐν ᾧ ὡς ἀρχὴ λαμβάνεται τὸ μηδόλως νοούμενον. Ἀλλ' ὅτι δὴ σωματικὴ πᾶσα ἐνέργεια ἐν κινήσει, καὶ μεταβολῇ τόπου, καὶ θέσεως, καὶ σχήματος, κτλ. ἔχει τὸ εἶναι, πᾶς τις ῥᾳδίως ἔχει νοῆσαι· ἐκ δὲ δὴ τούτου καὶ τὴν ἐνέργειαν τῆς ψυχῆς σωματικῆς τεθείσης κινήματι τινὶ περαίνεσθαι ὀρθῶς ἐπιφέρομεν. Ἃ δ' ἀνθυποφέρουσιν ἀγνοεῖσθαι ἡμῖν τὴν ἐνδόμυχον τοῦ σώματος φύσιν, μηδ' ἐξεῖναι παρὰ τὰς κινήσεις ἄλλην μηδεμίαν προσιδιάζειν τῷ σώματι λέγειν ἐνέργειαν, ὅτι τε ὁ μαγνητισμὸς, ἤ φασι, καὶ ἡ Νευτώνειος ἕλκυσις, πολλῷ τῷ με-

(1) Ὅρα Ἐνρίκον Μόρον Βιβλ. Β'. περὶ ἀθαν. ψυχ. Κεφ. Α'. καὶ πρόλ. §. ε'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006